ὅτι πολλοὶ οἱ στεναγμοί μου, καὶ ἡ καρδία μου λυπεῖται.
2 Πῶς ἐγνόφωσεν ἐν ὀργῇ αὐτοῦ κύριος τὴν θυγατέρα Σιων;
κατέρριψεν ἐξ οὐρανοῦ εἰς γῆν δόξασμα Ισραηλ
καὶ οὐκ ἐμνήσθη ὑποποδίου ποδῶν αὐτοῦ ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ.
2 Κατεπόντισεν κύριος οὐ φεισάμενος πάντα τὰ ὡραῖα Ιακωβ,
καθεῖλεν ἐν θυμῷ αὐτοῦ τὰ ὀχυρώματα τῆς θυγατρὸς Ιουδα,
ἐκόλλησεν εἰς τὴν γῆν, ἐβεβήλωσεν βασιλέα αὐτῆς καὶ ἄρχοντας αὐτῆς.
3 Συνέκλασεν ἐν ὀργῇ θυμοῦ αὐτοῦ πᾶν κέρας Ισραηλ,
ἀπέστρεψεν ὀπίσω δεξιὰν αὐτοῦ ἀπὸ προσώπου ἐχθροῦ
καὶ ἀνῆψεν ἐν Ιακωβ ὡς πῦρ φλόγα, καὶ κατέφαγεν πάντα τὰ κύκλῳ.
4 Ἐνέτεινεν τόξον αὐτοῦ ὡς ἐχθρός, ἐστερέωσεν δεξιὰν αὐτοῦ ὡς ὑπεναντίος
καὶ ἀπέκτεινεν πάντα τὰ ἐπιθυμήματα ὀφθαλμῶν μου ἐν σκηνῇ θυγατρὸς Σιων,
ἐξέχεεν ὡς πῦρ τὸν θυμὸν αὐτοῦ.
5 Ἐγενήθη κύριος ὡς ἐχθρός, κατεπόντισεν Ισραηλ,
κατεπόντισεν πάσας τὰς βάρεις αὐτῆς, διέφθειρεν τὰ ὀχυρώματα αὐτοῦ
καὶ ἐπλήθυνεν τῇ θυγατρὶ Ιουδα ταπεινουμένην καὶ τεταπεινωμένην.
6 Καὶ διεπέτασεν ὡς ἄμπελον τὸ σκήνωμα αὐτοῦ, διέφθειρεν ἑορτὴν αὐτοῦ·
ἐπελάθετο κύριος ὃ ἐποίησεν ἐν Σιων ἑορτῆς καὶ σαββάτου
καὶ παρώξυνεν ἐμβριμήματι ὀργῆς αὐτοῦ βασιλέα καὶ ἱερέα καὶ ἄρχοντα.
7 Ἀπώσατο κύριος θυσιαστήριον αὐτοῦ, ἀπετίναξεν ἁγίασμα αὐτοῦ,
συνέτριψεν ἐν χειρὶ ἐχθροῦ τεῖχος βάρεων αὐτῆς·
φωνὴν ἔδωκαν ἐν οἴκῳ κυρίου ὡς ἐν ἡμέρᾳ ἑορτῆς.
8 Καὶ ἐπέστρεψεν κύριος τοῦ διαφθεῖραι τεῖχος θυγατρὸς Σιων·
ἐξέτεινεν μέτρον, οὐκ ἀπέστρεψεν χεῖρα αὐτοῦ ἀπὸ καταπατήματος,
καὶ ἐπένθησεν τὸ προτείχισμα, καὶ τεῖχος ὁμοθυμαδὸν ἠσθένησεν.

2 $1^1$ κυριος > ACp† | $1^3$ εν — fin. ad $2^1$ trahunt BS | οργης] + θυμου A: cf. 1 12 || $2^3$ εβεβηλ.] + εις την γην A† | βασιλεας B† | αρχοντα A || $3^1$ συνεκαλεσεν B | $3^2$ οπισω] pr. εις τα A: cf. 1 8 | δεξ. — εχθρου > S*† | $3^3$ εν > A: post -ψεν || $4^1$ ενετειλεν A† | εχθρος pl.] + υπεναντιος BSA | $4^2$ τα > S: post -τα | οφθ.] pr. των A | εν > A || $5^2$ πασας > BS† | αυτης(=𝔐)] -του Sc | αυτου (= 𝔐)] -της A | $5^3$ επληθυναν S*† | ταπεινουμενην] -νον SA || $6^2$ ο] α B† || $7^1$ κυρ./θυσ. αυ.] tr. A† | $7^2$ εχθρου] αυτου B | $7^3$ εδωκεν A | κυριου > BS† || $8^1$ απεστρ. SA | κυριος > BS† | του > B† | $8^2$ απεστρ.] επ. BS, + κυριος A† | $8^3$ ησθενησαν A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/763 UNIVERSITÄT LEIPZIG